# ΥΠΟΘΕΣΙΣ.

Ἰάσων εἰς Κόρινθον ἐλθὼν, ἐπαγόμενος καὶ Μήδειαν, ἐγγυᾶται τὴν Κρέοντος, τοῦ Κορινθίων βασιλέως, θυγατέρα Γλαύκην πρὸς γάμον. μέλλουσα δὲ Μήδεια φυγαδεύεσθαι ὑπὸ Κρέοντος ἐκ τῆς Κορίνθου, παραιτησαμένη μίαν ἡμέραν μεῖναι, καὶ τυχοῦσα, μισθὸν τῆς χάριδος δῶρα διὰ τῶν παίδων πέμπει τῇ Γλαύκῃ, ἐσθῆτα, καὶ χρυσοῦν στέφανον, οἷς ἐκείνη χρησαμένη διαφθείρεται· καὶ ὁ Κρέων δὲ, περιπλακεὶς τῇ θυγατρὶ, ἀπόλλυται. Μήδεια δὲ τοὺς ἑαυτῆς παῖδας ἀποκτείνασα, ἐφ᾽ ἅρματος δρακόντων πτερωτῶν, ὃ παρ᾽ Ἡλίου ἔλαβεν, ἔποχος γενομένη, ἀποδιδράσκει εἰς Ἀθήνας, κἀκεῖσε Αἰγεῖ τῷ Πανδίονος γαμεῖται. Φερεκύδης δὲ καὶ Σιμωνίδης φασὶν, ὡς ἡ Μήδεια ἑψήσασα τὸν Ἰάσονα νέον ποιήσειε· περὶ δὲ τοῦ πατρὸς αὐτοῦ, Αἴσονος, ὁ τοὺς Νόστους ποιήσας φησὶν οὕτως.

Αὐτίκα δ᾽ ἴσονα θῆκε φίλον κόρον ἡβώοντα,
γῆρας ἀποξύσασ᾽ εἰδυίῃσι πραπίδεσσι,
φάρμακα πόλλ᾽ ἕψουσ᾽ ἐπὶ χρυσείοισι λέβησιν.

Αἴσχυλος δ᾽ ἐν ταῖς Διονύσου Τροφοῖς (T. II. p. 639. Pauw) ἱστορεῖ, ὅτι καὶ τὰς Διονύσου τροφοὺς μετὰ τῶν ἀνδρῶν αὐτῶν ἀνεψήσασα, ἐνεοποίησε. Στάφυλος δὲ φησι, τὸν Ἰάσονα τρόπον τινὰ ὑπὸ τῆς Μηδείας ἀναιρεθῆναι· ἐγκελεύσασθαι γὰρ αὐτὴν ὑπὸ τῇ πρύμνῃ τῆς Ἀργοῦς

γοῦς

γοῦς αὐτὸν κατακοιμηθῆναι, μελλούσης τῆς νεὼς διαλύεσθαι ὑπὸ τοῦ χρόνου· ἐπιπεσούσης γοῦν τῆς πρύμνης τῷ Ἰάσονι, τελευτῆσαι αὐτόν.

(Τὸ δρᾶμα δοκεῖ ὑποβαλέσθαι, γενναιοφρόνως διασκευάσας, ὡς Δικαίαρχός τε περὶ τοῦ Ἑλλάδος βίου καὶ Ἀριστοτέλης ἐν ὑπομνήμασι· μέμφονται δὲ αὐτῷ τὸ μὴ πεφυλακέναι τὴν ὑπόκρισιν τῇ Μηδείᾳ, ἀλλὰ πεσεῖν εἰς δάκρυα, ὅτε ἐπεβούλευσεν Ἰάσονι καὶ τῇ γυναικί. ἐπαινεῖται δὲ ἡ εἰσβολὴ διὰ τὸ παθητικῶς ἄγαν ἔχειν καὶ ἡ ἐπεξεργασία, (v. 3.) μήδ' ἐν νάπαισι, καὶ τὰ ἑξῆς. ὅπερ ἀγνοήσας Τιμαχίδας τῷ ὑστέρῳ φησὶ πρώτῳ κεχρῆσθαι, ὡς καὶ Ὅμηρος· (Οδυσσ. ε, 265) εἵματά τ' ἀμφιέσασα θυώδεα καὶ λούσασα.)

Ἀριστοφάνους Γραμματικοῦ. Μήδεια διὰ τὴν πρὸς Ἰάσονα ἔχθραν, τῷ ἐκεῖνον γεγαμηκέναι τὴν Κρέοντος θυγατέρα Γλαύκην, ἀπέκτεινε μὲν Γλαύκην, Κρέοντα, καὶ τοὺς ἰδίους υἱούς, ἐχωρίσθη δ' Ἰάσονος, Αἰγεῖ συνοικήσασα. παρ' οὐδετέρῳ κεῖται ἡ μυθοποιΐα.

Ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Κορίνθῳ· ὁ δὲ χορὸς συνέστηκεν ἐκ γυναικῶν πολιτίδων. προλογίζει δὲ τροφὸς Μηδείας. (Ἐδιδάχθη ἐπὶ Πυθοδώρου ἄρχοντος κατὰ τὴν ὀγδοηκοστὴν ἑβδόμην Ὀλυμπιάδα. πρῶτος Εὐφορίων, δεύτερος Σοφοκλῆς, τρίτος Εὐριπίδης. Μήδεια, Φιλοκτήτης, Δίκτυς, Θερισταὶ Σάτυροι· οὐ σώζεται.

---